Καὶ κερχνῄδων.] μή ποτε καὶ ἐν τοῖς πρόσθεν, οὐχὶ κερχνὴς γραπτέον, ἀλλὰ κερχνῄς σὺν τῷ ι, ὡς Νηρηΐς. A νῦν γὰρ κερχνῄδων εἶπεν. κνῖπες δὲ εἴδη ζωυφίων μικρά.

Ευ. Γαῦλον κτῶμαι καὶ ναυκληρῶ, κοὐκ ἂν μείναιμι παρ' ὑμῖν.
Πι. Τοὺς θησαυρούς τ' αὐτοῖς δείξουσ' οὓς οἱ πρότεροι κατέθεντο,
Τῶν ἀργυρίων. οὗτοι γὰρ οἴδασι. λέγουσι δέ τοι τάδε πάντες,
Οὐδεὶς οἶδε τὸν θησαυρὸν τὸν ἐμὸν, πλὴν εἴ τις ἄρ' ὄρνις.
Ευ. Πωλῶ γαῦλον, κτῶμαι σμινύην, καὶ τὰς ὑδρίας ἀνορύττω.
Επ. Πῶς δ' ὑγίειαν δώσουσ' αὐτοῖς, οὖσαν παρὰ τοῖσι θεοῖσιν.
Πι. Ην εὖ πράττωσ' οὐχ ὑγίεια μεγάλη τοῦτ' ἐστί; σάφ' ἴσθι.
Ως ἄνθρωπός γε κακῶς πράττων, ἀτεχνῶς οὐδεὶς ὑγιαίνει.
Χο. Πῶς δ' εἰς γῆρας πότ' ἀφίξονται; καὶ γὰρ τοῦτ' ἔστ' ἐν Ὀλύμπῳ.
Η παιδάριόν τ' ἀποθνήσκειν δεῖ. Πι. μὰ Δί' ἀλλὰ τριακόσι' αὐτοῖς
Ετι προσθήσουσ' ὄρνιθες ἔτη. Χο. παρὰ τοῦ; Πει. παρὰ τοῦ; παρ' ἑαυτῶν,
Οὐκ οἶσθ' ὅτι πέντε γενεὰς ἀνδρῶν ζώει λακέρυζα κορώνη;
Ευ. Αἰβοῖ. ὡς πολλῷ κρείττους οὗτοι τοῦ Διὸς ἡμῖν βασιλεύειν.
Πι. Οὐ γὰρ πολλῷ. πρῶτον μὲν οὐ-
Χὶ νεὼς ἡμᾶς οἰκοδομεῖν δεῖ
Λιθίνους αὐτοῖς. οὐδὲ θυρῶσαι
Χρυσαῖσι θύραις, ἀλλ' ὑπὸ θάμνοις
Καὶ πρινιδίοις οἰκήσουσιν.
Τοῖς δ' αὖ σεμνοῖς τῶν ὀρνίθων,
Δένδρον ἐλαίας ὁ νεὼς ἔσται.
Κοὐδ' εἰς Δελφοὺς, οὐδ' εἰς Ἀμμω-
Ν' ἐλθόντες, ἐκεῖ θύσομεν. ἀλλ' ἐν
Ταῖσι κομάροις καὶ τοῖς κοτίνοις
Στάντες ἔχοντες κριθὰς, πυροὺς,
Εὐξόμεθ' ἑαυτοῖς ἀνατείνοντες
Τὼ χεῖρ' ἀγαθῶν διδόναι τι μέρος.
Καὶ ταῦθ' ἡμῖν παραχρῆμ' ἔσται,
Πυροὺς ὀλίγους προβαλοῦσιν.

Ev. *Nauigium poßideo, & nauem guberno, & non manebo apud vos.*
PI. *Thesauros ipsis ostendent, quos priores deposuerunt*
*Argentorum. hi enim sciunt, dicunt hæc omnes.*
B *Nullus scit thesaurum meum, præter si quis auis.*
EV. *Multo nauigium, poßideo ligonem, & hydrias defodio.*
EP. *Quomodo autem sanitatem dabunt ipsis existentem apud deos?*
PI. *Si bene agant, non sanitas magna hoc est? manifestè scias,*
C *Quòd homo malè agens apertè, nullus sanus est.*
CH. *Quomodo autem in senectutem aliquando abibunt? etenim hoc est in Olympo,*
*Vel puerulum mori oportet.* PI. *Per Iouem, sed trecentos ipsis*
*Adhuc apponunt aues annos.* CH. *A quo? à seipsis?*
D *Non scis quòd quinque generationes virorum viuit garrula cornix.*
EV. *Papæ, valde multo potentiores hi Ioue nobis regnare.*
PI. *Non enim multo: primùm quidem no-*
*N altaria nos ædificare oportet*
*Lapidea ipsis, neque claudere*
*Aureis ianuis, sed sub arbustis*
E *Et fruticulis habitant.*
*His autem rursus prudentibus auium,*
*Arbor oleæ altare erit.*
*Et neque in Delphos, neque in Ammo-*
*Ne euntes, illic sacrificabimus, sed in*
*Moris & oleastris*
*Stantes, habentes ordea, frumenta,*
*Supplicabimus, sibiipsis extendentes*
F *Manus bonorum dare aliquam partem.*
*Et hæc nobis statim erunt,*
*Frumenta pauca proponentibus.*

Σχόλια. Γαῦλον κτῶμαι.] γαῦλος φοινικικὸν σκάφος, καὶ νῦν προσειπωμένον. ἐπὶ δὲ τοῦ ἀγγείου, ὀξυτόνως. Καλλίμαχος, Κυπρόθεν Σιδώνιός με κατήγαγεν ἐνθάδε γαυλός. ἄλλως. Γαῦλος, πλοῖόν τι φορτικὸν, ὡς καὶ σκάφη ἀπὸ τοῦ σκευῶν. Ὅμηρος, γαυλοί τε σκαφίδες τε. ὡς αἱρετωτέρου δὲ ὄντος καὶ ἀκινδυνοῦ τῶν ἄλλων πάντων τοῦτό φησι.

Bisetvs. Γαῦλον] Εὐστάθιος, γαυλὸς, σκεῦος ποιμενικὸν εἰς τὸ ἀμέλγειν χρήσιμον. παρὰ τὸ γάλα λέγεται, πλεονασμῷ τοῦ υ. καὶ ὀξυτόνως προφέρεται. γαῦλος δὲ βαρυτόνως εἶδός τι πλοίου, καὶ ἡ ἀντλία ὁμωνύμως.

Σχόλια. Πλὴν εἴ τις ὄρνις.] παροιμία ἐστίν. οὐδείς με θεωρεῖ, πλὴν ὁ παραπτάμενος ὄρνις. ἄλλως. παροιμιακῶς τοῦτο. οὐδεὶς οἶδε τί ὡμίλησα, πλήν γε εἴ τις ὄρνις. τοῦτο ἐλέγετο, ἐπὶ τῶν ἀγνώστων. Τὰς ὑδρίας] ἐν ὑδρίαις γὰρ ἔκειντο οἱ θησαυροί. Πῶς δ' εἰς γῆρας.] ἀντὶ τοῦ εἰς πολυχρονιότητα προκόψουσιν. Οὐκ οἶσθ' ὅτι πέντε γενεάς.] κακῶς καὶ τοῦτο παρὰ τὸ Ἡσιόδειον παίζει. ἐννέα γὰρ ζώει γενεὰς λακέρυζα κορώνη. G Οὐδὲ θυρῶσαι.] τοὺς ναοὺς ὡς τοῖς θεοῖς. θάμνοις δὲ συμφύτοις τόποις. σεμνοῖς δὲ τοῖς τιμίοις. Δένδρον ἐλαίας.] ὅτι εὕρημα θεῶν. Ἀθηνᾶς γάρ. Κοὐδ' εἰς Δελφοὺς] ἔνθα μαντεῖά εἰσιν. ἐν μὲν Δελφοῖς τὰ τοῦ Ἀπόλλωνος, ἐν δὲ Λίβυσι τὰ τοῦ Ἄμμωνος. Ταῖσι κομάροις.] ὅτι τὰς μὲν κομάρους, θηλυκῶς φασί. τοὺς δὲ κοτίνους ἀρσενικῶς. εἴδη δὲ δένδρων ταῦτα.